# 51. THE KINDRED OF JESUS (Matt-Mark Identical)

| Matt 12:46-50 | Mark 3:31-35 |
|---|---|
| Ἔτι αὐτοῦ λαλοῦντος τοῖς ὄχλοις | |
| ἰδοὺ | Καὶ ἔρχεται |
| ἡ μήτηρ | ἡ μήτηρ αὐτοῦ |
| καὶ οἱ ἀδελφοὶ αὐτοῦ | καὶ οἱ ἀδελφοὶ αὐτοῦ |
| ἑιστήκεισαν ἔξω | καὶ ἔξω στήκοντες |
| ζητοῦντες | ἀπέστειλαν πρὸς αὐτὸν |
| αὐτῷ λαλῆσαι. | καλοῦντες αὐτόν. |
| | 32 καὶ ἐκάθητο περὶ αὐτὸν ὄχλος, |
| 47 εἶπεν δέ τις αὐτῷ, | καὶ λέγουσιν αὐτῷ, |
| Ἰδοὺ ἡ μήτηρ σου | Ἰδοὺ ἡ μήτηρ σου |
| καὶ οἱ ἀδελφοί σου | καὶ οἱ ἀδελφοί σου |
| ἔξω ἑστήκασιν | ἔξω |
| ζητοῦντές σοι λαλῆσαι. | ζητοῦσίν σε. |
| 48 ὁ δὲ ἀποκριθεὶς | 33 καὶ ἀποκριθεὶς |
| εἶπεν τῷ λέγοντι αὐτῷ, | αὐτοῖς λέγει, |
| Τίς ἐστιν ἡ μήτηρ μου, | Τίς ἐστιν ἡ μήτηρ μου |
| καὶ τίνες εἰσὶν οἱ ἀδελφοί μου | καὶ οἱ ἀδελφοί μου |
| 49 καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ | 34 καὶ περιβλεψάμενος |
| ἐπὶ τοὺς μαθητὰς αὐτοῦ εἶπεν, | τοὺς περὶ αὐτὸν κύκλῳ καθημένους λέγει, |
| Ἰδοὺ ἡ μήτηρ μου | Ἴδε ἡ μήτηρ μου |
| καὶ οἱ ἀδελφοί μου· | καὶ οἱ ἀδελφοί μου. |
| 50 ὅστις γὰρ ἂν ποιήσῃ | 35 ὃς γὰρ ἂν ποιήσῃ |
| τὸ θέλημα τοῦ πατρός μου | τὸ θέλημα τοῦ θεοῦ, |
| τοῦ ἐν οὐρανοῖς | |
| αὐτός μου ἀδελφὸς καὶ ἀδελφὴ | οὗτος ἀδελφός μου καὶ ἀδελφὴ |
| καὶ μήτηρ ἐστίν. | καὶ μήτηρ ἐστίν |

92 words out of 169 words = 54%